# ΥΜΝΟΛΟΓΙΟΝ

ΕΝ Ω· Η ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΛΕΟΝΤΙΟΥ

ΚΑΙ ΟΙ

## ΤΟΥ ΑΡΧΑΓΓΕΛΟΥ ΜΙΧΑΗΛ

ΟΙΚΟΙ ΠΕΡΙΕΧΟΝΤΑΙ

Καὶ ἐν τῷ προοιμίῳ ἥτε ἡμέρα, ἐν ᾗ ἡ μνήμη τοῦ Ὁσίου τελεῖται, καὶ ἡ τάξις ὅπως τὴν ἀκολουθίαν τοῦ Ὁσίου ψάλλουσι καταλεπτῶς περιγράφεται

Ἔκδοσις τρίτη

Δαπάνῃ τοῦ Πανοσιωτάτου Ἀρχιμανδρίτου
ΠΑΜΦΙΛΟΥ Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ
Ἡγουμένου τῆς Μονῆς Ταξιαρχῶν

ΕΝ ΑΙΓΙΩ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΧΡ. ΣΠΗΛΙΟΠΟΥΛΟΥ
1906

ΔΩΡΕΑ
ΕΚ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

ΣΥΛΛΟΓΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ



ΔΩΡΕΑ
ΕΚ Τ...
ΑΔ. Ι. ΑΔ...
ΚΑΘΗΓΗΤΟΥ ...



## Μηνὶ Δεκεμβρίῳ ια΄.

### Ἐν ταύτῃ τῇ ἡμέρᾳ τελεῖται ἡ μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Λεοντίου, ἐν ᾗ καὶ ἀγρυπνίαν ἐπιτελοῦμεν

Ἐν τῷ μικρῷ ἑσπερινῷ εἰ τύχοι ἐν Κυριακῇ, ἱστῶμεν στιχ. στ. καὶ ψάλλομεν στιχ. ἀναστάσιμα γ΄. καὶ τοῦ Ἁγίου γ.΄ δόξα τοῦ Ἁγίου, καὶ νῦν, τὸ Θεοτοκίον τοῦ ἤχου, καὶ τὰ ἀπόστιχα τὸ ἀναστάσιμον στιχ. καὶ τοῦ Ἁγίου, μετὰ τῶν ἰδίων στίχ. ἀπολυτίκιον τὸ ἀναστάσιμον, καὶ τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον.

Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ ψάλλομεν τό, μακάριος ἀνήρ, τὸ πρῶτον ἀντίφωνον, εἰς ἦχον πλ. δ.΄ καὶ εἰ ἐστὶ Κυριακή, λέγεται καὶ τὸ ἐπίλοιπον κάθισμα. Ἰστέον, ὅτι ὅταν τύχῃ Κυριακή, ἡ παροῦσα ἡμέρα ψάλλεται, καὶ ἡ ἀκολουθία τῶν ἁγίων προπατόρων, καὶ ὀφείλει ψάλλεσθαι οὕτως.

Εἰς τὸ Κύριε ἐκέκραξα, στιχ. ἀναστάσιμα γ.΄ καὶ ἀνατολικὸν α΄. εἶτα τῶν προπατόρων, γ΄. καὶ τοῦ Ἁγίου γ΄. δόξα τῶν προπατόρων, καὶ νῦν Θεοτοκίον τὸ α.΄ τοῦ ἤχου.

Εἰς τὴν λιτὴν τὰ ἰδιόμελα τῶν ἁγίων τὸ εἰς τὴν λιτήν, καὶ τὸ ἀπόστιχον, εἶτα τοῦ Ἁγίου, ἰδιόμελα τὸν α.΄ τοὺς β. καὶ τοὺς γ.΄ δόξα ἦχος πλ. β.΄ τὸ τῶν Ἀγγέλων ζηλώσας πολίτευμα, καὶ νῦν Θεοτοκίον ὁ ποιητὴς καὶ λυτρωτής μου, εἰς τὸν στιχ. τὰ ἀναστάσιμα, δόξα τοῦ Ἁγίου ἦχος πλ. δ.΄. Τῶν γηρῶν φροντίδων, καὶ νῦν Θεοτοκίον ἀνύμφευτε παρθένε ἀπολυτίκιον Θεοτόκε παρθένε δίς, καὶ τοῦ ἁγίου ἅπαξ.

Εἰς δὲ τὸ Θεὸς Κύριος, τροπάριον τὸ ἀναστάσιμον· εἶτα τῶν Ἁγίων, δόξα τοῦ Ὁσίου καὶ νῦν Θεοτοκίον. Εἰς τὰ καθίσματα τῆς στιχολογίας, κάθισμα ἀναστάσιμον, μετὰ δὲ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια ἡ ὑπακοή· εἶτα ψάλλεται ὁ πολυέλεος

καὶ τὰ καθίσματα τοῦ Ἁγίου· οἱ ἀναβαθμοὶ τοῦ ἤχου καὶ Εὐαγγέλιον ἀναστάσιμον.

Οἱ κανόνες, ὁ ἀναστάσιμος, εἰς δ.΄ τῶν προπατόρων εἰς δ.΄ καὶ τοῦ Ἁγίου εἰς στ.΄. Τῶν δὲ Ἁγίων τριῶν παίδων ὁ κανὼν ἀρίεται· εἰς τὴν γ.΄ ᾠδ. κοντάκιον καὶ ὁ οἶκος τῶν Ἁγίων κάθισμα τοῦ Ἁγίου.

Εἰς δὲ τὴν στ΄. τὸ κοντάκιον, καὶ ὁ οἶκος αὐτοῦ, ἐξαποστηλάριον τὸ ἀναστάσιμον τῶν Ἁγίων, τοῦ Ὁσίου, καὶ Θεοτοκίον εἰς τοὺς αἴνους στιχ. ἀναστάσιμα δ΄· καὶ τοῦ Ἁγίου στιχηρὰ τὰ τῶν αἴνων γ΄. καὶ τὸ δόξα. μετὰ τῶν στίχων αὐτοῦ, δόξα τῶν προπατόρων, καὶ νῦν ὑπερευλογημένη· τὸ δὲ ἑωθινὸν εἰς τὴν α΄. ὥραν.

**Ἐν τῷ μικρῷ ἑσπερινῷ ἱστῶμεν στίχους δ΄ στιχ. προσόμοια ἦχος α.΄ τῶν Οὐρανίων Ταγμάτων.**

Τῶν Δωριέων τὸ κλέος, καὶ ἐγκαλώπισμα τῆς ὑφηλίου πάσης, τὸ ἐντρύφημα δεῦτε, Λεόντιον τὸν πάνυ ἀσματικῶς εὐφημίσωμεν σήμερον, τοῦτο βοῶντες ἐν πίστει, ὑπὲρ ἡμῶν, τὸν Χριστὸν ἀεὶ ἱκέτευε.

Τὸν εὐκλεῆ μυστηπόλον τῆς θείας χάριτος, καὶ ἄριστον ἐργάτην, τοῦ Χριστοῦ τῆς ἀμπέλου Λεόντιον τὸν μέγα, οἱ τῶν αὐτοῦ δωρεῶν ἀπολαύοντες, δεῦτε κροτήσωμεν ὕμνοις χρεωστικῶς καὶ τοῖς λόγοις καταστέψωμεν.

Τὸ πρὸς Κυρίου δοθέν σοι ἐπαύξων τάλαντον, καὶ ζῶν καὶ μετὰ τέλος, τῆς χαρᾶς ἠξιώθης,



τῆς θείας τοῦ δεσπότου, πρᾶος φανείς, οἰκονόμος Λεόντιε, συγκοινωνός τε Ὁσίων, καὶ τῶν πιστῶν πάντων φύλαξ καὶ ὑπέρμαχος.

**Δευτεροῦμεν τὸ α.΄ δόξα ἦχος δ΄.**

Τὴν πάνσεπτον πανήγυριν τῆς ἐνδόξου θεόφρον τῆς σῆς, ἀσωμάτων οἱ δῆμοι ἐν οὐρανῷ, καὶ μερόπων τὸ φῦλον, ἐπὶ τῆς γῆς ἐκθειάζουσιν, ὅτι σκεῦος πέφηνας τῆς τριλαμποῦς μοναρχίας καὶ θεῖος σηκὸς, αὐτὴν ἱλεούμενος, ὑπὲρ ἡμῶν, μὴ ἐλλίπῃς, λιτάζομεν, τὸν θερμῶς τὴν παμφαῆ, γεραιρόντων σου μνήμην, τὴν φωσφόρον, καὶ ἀΐδιον πάτερ Λεόντιε.

**Εἰς τὸν στίχ. στιχ. ἦχος β΄. Οἶκος Ἐφραθᾶ**

Δεῦτε τῶν μοναστῶν, τὰ πλήθη συνελθόντες, τὴν παμφαῆ ἐν ὕμνοις, πανήγυριν τοῦ θείου Λεοντίου τελέσωμεν.

**στιχ. μακάριος ἀνὴρ ὁ φοβούμενος**

Φωτὸς τοῦ τριλαμποῦς, ὑπάρξας θεῖος δόμος, φωταγωγεῖς τοὺς πίστει, προστρέχοντας τῇ θήκῃ, Θεόφρων τῶν λειψάνων σου.

**Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τοῦ**

Ὤφθεις ὡς ἀληθῶς, Λεόντιε φῶς μέγα, νυκτὸς ἐξ ἀγνωσίας, ῥυόμενος τοὺς πόθῳ, ὑμνοῦντάς σου τὴν κοίμησιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

**Δόξα ἦχος γ΄ νῦν προφητική**

Νῦν πνευματικὴ πάρεστι, πανδησία φιλέορτοι νοητῶς τρυφήσωμεν, καὶ σῶμα, καὶ νοῦν, καθαρθέντες, καθαροὶ τῷ παναμώμῳ, προσέλθωμεν Λεοντίῳ, καὶ σορὸν τούτου προσπτυξώμεθα, ἐξ ἧς ῥεῖθρα ἀναβλύζουσι, καθάρσια μολυσμῶν παντοδαπῶν, εἰς Χριστοῦ τὴν δόξαν τοῦ πάντων Θεοῦ· οὗ ταῖς εὐχαῖς ἀγαθέ, ἐθνῶν τὰ θράση καθελεῖς ὅτι εἰς χοῦν ἔθεντο τὸ σκήνωμά σου.

**Καὶ νῦν Θεοτοκίον**

Ἁγιόπρωτε σεμνή, ἐγκώμιον οὖσα τῶν οὐρανίων ταγμάτων, Ἀποστόλων ὑμνῳδία, Προφητῶν περιοχή· Δέσποινα πρόσδεξαι, καὶ ἡμῶν τὰς δεήσεις,

**Ἀπολυτίκιον ἦχος α΄. τὸν τάφον σου Σωτήρ.**

Ἀσκήσει λαμπρυνθείς, ὡς χρυσὸς ἐν χωνείᾳ, λαμπρύνεις μοναστῶν τοὺς χοροὺς ἑπομένως, τοῖς θείοις σου διδάγμασι, θεοφόρε Λεόντιε· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην ἑορτάζοντες, ὑπὲρ ἡμῶν σὲ πρεσβεύτην, αἰτοῦμεν πρὸς Κύριον.

Καὶ ἡ εὐλόγητις τῶν κελλυδῶν, καὶ ἀπόλυσις



**Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ μετὰ τὸν προοιμ. ψαλμ.**

Τό, μακάριος ἀνὴρ εἰς ἦχον πλ. δ΄. τό α΄. ἀντίφωνον ὅλον, εἰ τύχοι ἐν Κυριακῇ· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στιχ. η΄. καὶ ψάλλομεν στιχ. τοῦ ἁγίου ἦχος β΄. ποίοις εὐφημιῶν.

---

Ποίοις τὸν ἐπὶ γῆς ἄγγελον καὶ οὐράνιον ἄνθρωπον ὕμνοις, τοῖς τῶν ἐγκωμίων τιμήσωμεν, τὸν τῶν ἀσωμάτων συνόμιλον, καὶ τῶν πρωτοτόκων συμπολίτην, τὸ σκεῦος τῶν χαρισμάτων τῶν τοῦ Πνεύματος, τὸν οἶκον τῆς Τριλαμποῦς μιᾶς Θεότητος, παρ᾽ ᾧ πατὴρ, καὶ λόγος, καὶ τὸ θεῖον πνεῦμα, κατεσκήνωσαν, εἰς ὃν καὶ μονὴν ἐποιήσαντο, Λεόντιον τὸν τρισόλβιον.

Ποίοις χαρμονικοῖς ἔπεσι, μακαρίσωμεν τὸν θεοφόρον, τὸ πνευματοκίνητον ὄργανον, καὶ τὴν θεοκόσμητον σάλπιγγα, τὴν τὰ θεῖα μέλη κελαδοῦσαν, τοῦ γήρως τὴν βακτηρίαν τὴν ἀκράδαντον, τὴν ῥάβδον ποιμαντικῶς τὴν διιθύνουσαν, πρὸς Παραδείσου λειμῶνας, τοὺς τοῦ λόγου ἄρνας, καὶ φυλάττουσαν ἀσινεῖς πιστούς, καὶ συντρίβουσαν πύλας, τοῦ παμφάγου δράκοντος.

Ποίοις. οἱ εὐτελοῖς ᾄσμασιν, εὐφημήσωμεν τὸν θεηγόρον, τὴν οὐρανοχάλκευτον μάχαιραν,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

τὴν τῷ θείῳ λόγῳ ἐκτέμνουσαν, ῥᾷστα ἐκ τοῦ χείρονος τὸ κρεῖττον, τὸν νοῦν, τὸν τὰ κεκρυμμένα ἐρευνήσοντα, σοφῶς τὰ τοῦ θείου Πνεύματος ἐν πνεύματι τῆς προφητείας τῶν ὅρων, τὸν τομῶς χωρήσαντα κατὰ τοῦ Βελίαρ ἐχθροῦ, καὶ τοῦτον συντρίψαντα, τῷ σθένει τῆς θείας χάριτος.

**Δόξα ἦχος πλ. β΄. Τὸ κατ' εἰκόνα**

Τὸ τῶν ἀγγέλων ζηλώσας πολίτευμα καὶ τῆς σοφίας, ὡραϊσθεὶς ταῖς ἀνάρχοις, καὶ μακαρίαις ἐλλάμψεσιν, εἰς τὴν ὑπέρφωτον, ὡς ἐφικτόν, ἤρθης ἕνωσιν· ὁλικῶς γὰρ τῶν ὄντων ὑπεριπτάμενος, ἔφθασας ἐνθέσμως τῶν ἐφετῶν τὸ ἀκρότατον, καὶ Θεὸν τρανῶς βλέπειν ἠξίωσαι· ὅθεν πρωτοτόκων συμπολίτης ὑπάρχεις, ἡσυχίας ἀκρότης, θεωρίας ταμεῖον, λαμπτὴρ μοναστῶν πρακτικώτατος· καὶ νῦν ἀπολαβών, τὰ βραβεῖα τῶν πόνων Λεόντιε, ὁσημέραι δυσώπει, τὸν δεσπότην τῶν ὅλων, ὑπὲρ πάντων τῶν πίστει, ἀνευφημούντων τὴν θείαν σου κοίμησιν.

**Καὶ νῦν Θεοτοκίον ὁ αὐτός**

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον· ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ



αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος, ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος, αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, τὸ φῶς ἱλαρόν, προκ. καὶ τὰ ἀναγνώσματα**

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ, εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκαύτωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ συνε-

σιν αὐτοῦ· ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος, ἀμαυρεῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς. διὰ τοῦτο ἔσπευσεν ἐν μέσῳ πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους, ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρης ῥιφθήσονται χάλαζαι· ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως· καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθεται δικασταὶ περάτων γῆς· ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμων· καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Εἰς τὴν λιτὴν ἦχος α΄. Εὐφραίνου ἐν Κυρίῳ**

Ἐνθέως ἀγλαΐζου, τάξις τῶν μονοτρόπων, καὶ τέρπου ἐν τῷ πνεύματι, καὶ σκίρτα τῇ



καρδίᾳ, Λεόντιον τὸν ἰσάγγελον ἀσκητήν, καὶ κήρυκα τῆς ἀληθείας πλουτοῦσα ὑπέρμαχον, καὶ πρεσβευτήν, εὐφράνθητι, τῶν χαρίτων τὰς θαλάσσας ἀπαντλοῦσα· καὶ ὅλα καταστρέφοντα, τῶν δαιμόνων τὰ στίφη, καὶ γηθοσύνως τῷ δεσπότῃ προσφώνησον, εὔσπλαγχνε δόξα σοι.

**Ἦχος β΄. Εἰς τὰ ὑπέρ.**

Εἰς τὰ ἐπουράνια ἀνάκτορα, τὸ Πνεῦμα σου Λεόντιε τὸ ἱερὸν ὁ πάντων Θεός, ἐδέξατο ἀμόλυντον· σὺ γὰρ μονοτρόπων στήλη ἐχρημάτισας· καὶ θεωρίας ἀκρότης, καὶ τῆς πράξεως ἀλείπτης φαιδρός· μεταστὰς δὲ τῶν ῥευστῶν, τὰ μὴ ῥέοντα κλῆρον ἀπείληφας ἑνούμενος ταῖς ἀνωτάτοις φρυκτωρίαις τῆς θεαρχίας ἀμέσως πάτερ, καὶ τὴν χάριν ἔλαβες τῶν ἰάσεων, τοῖς πᾶσιν ὀρέγων τὰ σωτήρια ἄκη· διὰ σοῦ μέγιστε, δοξάζοντες τὴν πανήγυριν κατὰ χρέος γεραίρομεν, τὸν σὲ δοξάσαντα Κύριον.

**Ἦχος ὁ αὐτός. Ὁ φωτί σου ἅπασαν.**

Ὁ φαιδρὸς Λεόντιος, τοῦ παρακλήτου τὸ σκεῦος, ὡς ὄλβον μυστικόν, πᾶσιν ἐκφαίνει τὴν αὐτοῦ μνήμην, τῆς ἐν τῷ κόσμῳ δεινῆς, λυτρούμενος πάντας πλάνης, καὶ νέμων θεῖα χαρίσματα αὐτῷ βοήσωμεν, πάτερ Λεόντιε, ὑπερεύχου τῶν ὑμνούντων σε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤ...

**Ἦχος γ΄. Δεῦτε ἅπαντα τὰ πέρατα**

Δεῦτε σύμπαντα τὰ πλήθη μοναστῶν, τὴν φαιδρὰν πανήγυριν, τοῦ Λεοντίου νῦν ἀνυμνήσωμεν ἐν σκηναῖς γὰρ οὐρανοῦ, ἀπὸ γῆς ἀνέρχεται ἀγαλλόμενος ἔνθεν τῇ ἐνδόξῳ ἐξόδῳ αὐτοῦ, ἡ κτίσις πᾶσα ἀγαλλιᾶται ἐν ᾠδαῖς ᾀσμάτων, καὶ φωναῖς χαρμονικαῖς, σὺν τοῖς αὐτοῦ μύσταις, καὶ πᾶσιν ὁσίοις συγχορεύει λαμπρῶς.

**Δόξα ἦχος γ΄ νῦν προφητικὴ πρό.**

Νῦν πνευματικὴ πάρεστι πανδεσία, φιλέορτοι νοητὸς τρυφήσωμεν, καὶ σῶμα, καὶ νοῦν καθαρθέντες· καθαροὶ τῷ παναμμώμῳ, προσέλθωμεν Λεοντίῳ, καὶ σορὸν τούτου περιπτυξώμεθα· ἐξ ἧς ῥεῖθρα ἀναβλύζουσι καθάρσια μολυσμῶν παντοδαπῶν, εἰς τὴν Χριστοῦ δόξαν τοῦ πάντων Θεοῦ· οὗ ταῖς εὐχαῖς ἀγαθέ, ἐθνῶν τὰ θράση καθελεῖς· ὅτι εἰς χοῦν ἔθεντο τὸ σκήνωμά σου

**Καὶ νῦν ὁ αὐτός. Θεοτοκίον.**

Ἀσπόρως ἐκ θείου πνεύματος, βουλήσει δὲ πατρός, συνείληφας Υἱὸν τὸν τοῦ Θεοῦ, ἐκ πατρὸς ἀμήτορα, πρὸ τῶν αἰώνων ὑπάρχοντα· δι' ἡμᾶς δὲ ἐκ σοῦ ἀπάτορα γεγονότα, σαρκὶ ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας· διὸ μὴ παύσῃ πρεσβεύειν, τοῦ λυτρωθῆναι κινδύνων τὰς ψυχὰς ἡμῶν.



**Εἰς τὸν στίχ. στίχ. ἦχος πλ. ά. χαίροις ἀσκητικῶν.**

Χαίροις, ὁ νοηταῖς ὁμιλῶν, Ταξιαρχίαις καὶ Κυρίου Λεόντιε, τὴν δόξαν ὁρῶν ἀμέσως, καὶ ταῖς ἐκεῖθεν βουλαῖς, καταυγάζων πᾶσαν τὴν ὑφήλιον· ὁ τῆς διακρίσεως, θησαυρὸς ὁ ἀκένωτος, τῆς θεωρίας Μυστολέκτης ὁ κάλλιστος, καὶ τῆς πράξεως, νομοθέτης ὁ ἄριστος, σάλπιγξ ἡ θεοκίνητος, ἡ μέλος ἠχήσασα σωτηριῶδες, καὶ πάντας, προτρεπομένη εἰς αἴνεσιν Χριστοῦ, ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

**Μακάριος ἀνὴρ ὁ φ.**

Χαίροις ὁ σελασφόρος πατήρ, ὁ καταυγάζων τῷ φωτὶ τῶν χαρίτων σου, τὰ στίφη τῶν μονοτρόπων, καὶ τὴν ἀχλὺν τῶν παθῶν ἐκδιώκων μέγιστε Λεόντιε, Ἀγγέλων συνόμιλε, τῶν ὁσίων ὁμόσκηνε, καὶ τῶν δικαίων, τὸ κλεινὸν περιήχημα, τὸ τῆς χάριτος θεοείκελον τέμενος, ἄνθρωπε ἐπουράνιε, καὶ ἔνσαρκε ἄγγελε, τῶν ἀρετῶν ἡ ἀκρότης, τῶν ἀγαθῶν τὸ κειμήλιον Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

**Τίμιος ἐναντίον κυρίου ὁ θ.**

Χαίροις τῶν μοναστῶν ἡ πληθύς, ὡς ἀπαρχήν σε τῷ Θεῷ προσκομίσασα, καὶ πόθῳ τὴν ἱεράν σου περικυκλοῦσα σορόν, ἐν ψαλμοῖς καὶ

ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΔΕΙΟΣ

ὕμνοις μακαρίζει σε, σκιρτᾷ σου τὰ ποίμνια, καὶ βοᾷ χαριστήρια, καὶ σοῦ τὴν κόνιν τῶν λειψάνων προσπτύσεται, ἀρυόμενα, θεοφόρε Λεόντιε, ῥῶσιν ψυχῆς, καὶ σώματος, ἀγγέλων ἰσότιμε, κλέος ὁσίων, καὶ πάντων τῶν ἐκλεκτῶν ἀκροθίνιον· Χριστὸν ἐνδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

**Δόξα ἦχος πλ. δ'. Τῶν Μοναστῶν**

Τῶν γεηρῶν φροντίδων τὴν ἀκανθηφόρον ἀπάτην ἀπέρριψας, καὶ τὸν σταυρὸν τοῦ Κυρίου ἐπ' ὤμων ἀράμενος, πάτερ Λεόντιε, τὰ ἄφραστα νῦν ἐποπτεύεις κάλλη· σὺν χοροῖς τῶν ὁσίων τρανώτατα, ἡ στάθμη τῆς πράξεως· κανὼν ὁ ἄπταιστος τῆς θεωρίας, καὶ νῦν πρέσβευε τῷ Σωτῆρι, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν Θεοτοκίον. Δέσποινα πρόσδεξε τὰς**

Ἀπολυτίκιον τοῦ ἁγίου ἅπαξ, καὶ τό, Θεοτόκε παρθένε δίς· καὶ μετὰ τὴν εὐλόγησιν τῶν ἄρτων, τίθεται ἀνάγνωσις εἰς τὸν βίον τοῦ ἁγίου Δανιήλ· αἱ δὲ λοιπαὶ ἀναγνώσεις γίνονται ἐκ τοῦ ἐγκωμίου τοῦ εἰς τὸν ἅγιον Λεόντιον.

**Εἰς τὸν ὄρθρον μετὰ τὴν πρώτην στιχολογίαν, κάθ. ἦχος α'. Τὸν Τάφον σου Σωτήρ.**

Τὸν βρίθον τῆς σαρκὸς τῇ ἀσκήσει λεπτύνας, ψυχῆς τὸ νοερὸν ἀνεπτέρωσας· ὅθεν καὶ σκεῦος ἐχρημάτισας τῆς τριάδος Λεόντιε· διὸ σήμερον, τὴν φωτοφόρον σου μνήμην ἑορτάζοντες, πρὸς τὸν Χριστόν σε μεσίτην ἀεὶ προβαλλόμεθα.

ΑΛΕΞΑΝΔΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ – ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



**Θεοτοκίον.**

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

**Εἰς τὴν δευτέραν στιχολογίαν κάθ. ἦχος γ'. Τὴν ὡραιότητα**

Φωτοειδέστατος σλύλος γεγένησαι, λόγοις καὶ τέρασι, πάτερ Λεόντιε, καταγλαΐζων τὰς ψυχὰς τῶν πίστει σε γεραιρόντων· ὅθεν συνελθόντες σου, τὴν χαρμόσυνον κοίμησιν, πόθῳ ἑορτάζομεν καὶ θερμῶς ἐκδυσῶμέν σοι· Χριστῷ μὴ διαλείπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

**Θεοτοκίον ὅμοιον.**

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· ποῖόν σοι ἐγκώμιον προσαγάγω ἐπάξιον, τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι, χαῖρε ἡ κεχαριτωμένη.

**Μετὰ τὸν πολυέλεον κάθ. ἦχος δ'. Κατεπλάγη.**

Καθοπλίσας σεαυτὸν τῇ παντευχίᾳ τοῦ σταυροῦ, πρὸς παράταξιν στερρῶς ἀπηυτομό-

λησας ἐχθροῦ, καὶ θαρσαλέως τὸ στάδιον διανύσας, σκότος τὰς ἀρχὰς ἐθριάμβευσας, νίκης τοὺς στεφάνους ἀράμενος, παρὰ Χριστοῦ τοῦ πάντων βασιλέως· ὃν ἐκδυσώπει Λεόντιε, ἁμαρτημάτων ἡμῖν παντοίων, ὡς καταπέμψῃ συγγνώμην.

**Θεοτοκίον.**

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον· ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε, παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

**Οἱ ἀναβαθμοί, τὸ α'. ἀντίφωνον τοῦ δ'. ἤχου**
**Προκ. ἦχος δ'.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. στιχ. τί ἀνταποδώσωμεν τῷ Κυρίῳ· καὶ Εὐαγγέλιον ὁσιακόν· εἰς τὸ ἐλέησόν με ὁ Θεός.

**Ἰδιόμελον ἦχος πλ. β'.**

Τῇ τρισολβίῳ σου ἐξόδῳ, μοναστῶν Λεόντιε φωστήρ, ἀγέλαι τῶν σῶν θρεμμάτων ὁμαδὸν συνηθροίσθησαν· καὶ γοερῶς περικυκλοῦντες, τῇ σῇ κλίνῃ παρέστησαν, μετὰ δέους, καὶ θαύματος· οἱ καὶ συστείλαντες τὸ σὸν σκήνωμα τὸ ἱερόν σοι, κοπτόμενοι ἐβόων· χαῖρε, ὁ τῶν ἀσωμάτων ζηλώσας ἄκρως ἐν σώματι, τὴν ἄϋλον βιο-



τήν· μεθ' ὧν τῷ δεσπότῃ παρεστὼς Θεῷ, μνημόνευε ἡμῶν τῶν μεμνημένων σου.

Οἱ κανόνες μετὰ τῶν εἱρμῶν ς'. καὶ τοῦ ἁγίου εἰς η'.

Ὁ κανὼν τοῦ ἁγίου. οὗ ἡ ἀκροστιχ.

**Λεόντιον τιμῶ κλέος Δωριέων. ἐν δὲ τοῖς Θεοτοκίοις μακαρίου.**

Ὠδὴ α'. ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Λιταῖς σου θείαις πεποιθὼς Λεόντιε, τὸ πέλαγος ἐγχειρῶ, μέλψε τοῦ σου βίου, καὶ τῆς πολιτείας σου· σὺ δὲ ὕπθεν ὄρεξον, λόγου χάριν καὶ σθένος· ὅσα γὰρ θέλεις καὶ δύνασαι, τῇ πρὸς τὸν Θεὸν παῤῥησίᾳ σου.

Ἐξ εὐσεβοῦς, καὶ εὐγενοῦς ἐβλάστησας ῥίζης ὡς πτόρθος τερπνός, εὐκαίρως τὸν καρπόν τε, ἔδωκας Λεόντιε, καὶ φύλλον οὐκ ἐῤῥύη σου· μαρτυρεῖ μοι τῷ λόγῳ, τὸ πέλαγος τῶν θαυμάτων σου, καὶ τῶν μαθητῶν τὰ συστήματα.

Οὐδέν σου ὤφθη τῶν φθαρτῶν Λεόντιε, ἐμπόδιον ἀληθῶς, πρὸς τὰ καλὰ βλέψαι· καὶ προκρίναι ἄριστα, τοῦ χείρονος τὸ βέλτιον· ὅθεν φυγὼν τὸν κόσμον, καὶ τὰ ἐν κόσμῳ, ἐσταύρωσαι, κόσμῳ, καί σοι κόσμος ἐσταύρωται.

Μόνη καὶ τίκτεις, καὶ παρθένος ἔμεινας, καὶ γὰρ Θεὸς ὁ τεχθείς, ὁ καινουργῶν φύσεις, ὅπερ καὶ Λεόντιος, ἀκολουθείσας γέγονε, τῇ πολλῇ ἡσυχίᾳ, καὶ τοῦ νοὸς τῇ λαμπρότητι· ἄγγελος ἐν σώματι δέσποινα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Καταβασία. Χριστὸς γεννᾶται ᾠδὴ γ΄.**
Ὁ στερεώσας κα.

Νεκρώσας σάρκα καὶ τὸν νοῦν ἀνακαθάρας νηστείᾳ, δάκρυσι καὶ προσευχῇ, προσοχῇ τε, ὅλος ἤρθης ἀπὸ γῆς, καὶ ἐνδημῶν τῷ σώματι, Θεῷ ὡμίλεις μόνος, μόνῳ ἀμέσως Λεόντιε.

Τρίβον ὁδεύσας τὴν στενήν, καὶ τεθλιμμένην, εἰκότως ἠξιώθης πλατισμοῦ οὐρανίου, καὶ χορεύεις σὺν χοροῖς, τῶν ἐκλεκτῶν Λεόντιε· ὧν καὶ τοὺς σοὺς συμμύστας, κατηξίωσας αὐλίζεσθαι.

Ἰδοὺ συνῆλθον οἱ λαοί, τοῖς φοιτηταῖς σου τελέσαι, σὴν Λεόντιε ἐτήσιον μνήμην, ὧν προσχὼν ταῖς προσευχαῖς, ὡς εὐμενὴς τὰ πρόσφορα αἰτήματα παράσχου, καὶ τῶν χρηστῶν πάντας πλήρωσον.

Ἀγγέλων ὤφθης καὶ βροτῶν, ἁπάντων τιμιωτέρα, ἀσυγκρίτως ὡς τεκοῦσα τὸν λόγον, τοῦ Θεοῦ, οὗπερ τρωθείς, τῷ ἔρωτι Λεόντιος, ὀπίσω σου παρθένε, ἀσκητικῶς ἠκολούθησεν.

**Καθ. ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.**

Ἀρνησάμενος κόσμον, καὶ τὸν ζυγόν, τοῦ Σωτῆρος ἐπ' ὤμων ἀναλαβών, καρδίας ἐ.έωσας, τῆς σῆς πάτερ τὰς αὔλακας, καὶ πολύχουν χάριτι τὸν σῖτον προήνεγκας, καὶ μοναστῶν διαθρέψας, χορείας τοῖς πόνοις σου· ὅθεν καὶ τοῦ κλήρου, κοινωνὸς τοῦ Κυρίου, ἀξίως ἠξίωσαι,



καὶ τῆς δόξης συμμέτοχος, θεοφόρε Λεόντιε, πρεσβεύων Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Θεοτοκίον.**

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος, τὴν φωτεινὴν νεφέλην, ὑμνήσωμεν, τὴν ἀκατάφλεκτον βάτον, τὸν λογικὸν παράδεισον, τῆς Εὔας τὴν ἀνάκλησιν, τῆς οἰκουμένης ὅλης, τὸ μέγα κειμήλιον· ὅτι Σωτηρία, ἐν αὐτῇ διεπράχθη τῷ κόσμῳ, καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων· διὸ καὶ βοῶμεν αὐτῇ· Δέσποινα παρθένε ἁγνή, τῶν πταισμάτων αἴτησαι τὴν ἄφεσιν, τοῖς ἀνυμνοῦσιν ἀξίως τὴν δόξαν σου.

**Ὠδὴ δ΄. Σύ μου ἰσχὺς κύριε.**

Ὀχυρωθεὶς τῇ παντευχίᾳ τῆς χάριτος, πρὸς τὴν πάλην, ἐχθροῦ ἐξελήλυθας, καὶ συμπλακεὶς τούτῳ, νοητῶς, κατέρραξας ἅμα, τοῖς τούτου δεινοῖς στρατεύμασι· διὸ καὶ τροπαιοῦχος, ἀνεδείχθης, καὶ στέφος, οὐρανόθεν ἐδέξω Λεόντιε.

Νενικηκὼς τὸν ἀναιδῶς φρυαττόμενον, καὶ στρουθίου, δείξας ἀσθενέστερον τοῦτον σοφέ· ὤφθης μοναστῶν, ἀλείπτης γενναῖος, καὶ Ταξιάρχης ἀήττητος, διὸ καὶ τὰς σὰς μάνδρας, ἐκλυτροῦσαι τῆς τούτου, ἐπηρείας καὶ βλάβης

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Λεόντιε.

Τὸν ἱερὸν καὶ θεοφόρον Λεόντιον, συνελθόντες, λόγοις καταστέψωμεν, καὶ ἐκ ψυχῆς κράξωμεν αὐτῷ, ταῖς καθαρωτάταις, πρεσβείαις σου πρὸς τὸν Κύριον· ῥῦσαι ἡμᾶς ἐκ πάσης, τοῦ ἐχθροῦ ἐπηρείας, καὶ παντοίων καλῶν, πάντας ἔμπλησον.

Κατὰ τὴν σὴν πρόῤῥησιν, σὲ μακαρίζουσι, Θεοτόκε, γενεαὶ αἱ σύμπασαι, τῶν γενεῶν, ὅτι τὸν Θεόν, τέτοκας ἀφράστως, οὗ τῇ δυνάμει ῥωννύμενος, Λεόντιος ὁ μέγας, τοῦ ἐχθροῦ τὰς ἐπάρσεις, κατηδάφησε φέρων σὲ πρόμαχον.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἰαμάτων πηγήν σε, ἔδειξεν ἡ ἄφθονος πηγὴ Λεόντιε, ὡς γὰρ ζῶν καὶ πάλιν, μετὰ τέλος τὸ μακαριώτατον, πάντας θεραπεύεις, τοὺς ἐκ ψυχῆς σου προσιόντας, τῇ σορῷ τῶν λειψάνων ἑκάστοτε.

Μὴ βραχεὶς τοῖς χειμάῤῥοις τοῦ ἐχθροῦ Λεόντιε, μηδὲ τοῖς πνεύμασι, σαλευθείς, ὡς ἔχων ἐπὶ πέτραν Χριστοῦ σου τὸν θέμεθλον, κυβερνήτης ὤφθεις, τῶν μοναστῶν, ἰθύνων πάντας, πρὸς λιμένα Θεοῦ τὸν ἀκύμαντον.

Ὥσπερ λέων βρυχήσας, ἔτρεψας ἀλώπεκας, νοητοὺς θῆρας τε καὶ τὰ ποίμνιά σου διασώζεις ἐκείνων τοῦ φάρυγγος· ἀλλὰ ταῦτα μάκαρ, ποιεῖν ἀεὶ μὴ διαλίποις, τῇ πολλῇ πρὸς Θεὸν



παῤῥησίᾳ σου.

Ἀλατόμητον ὄρος, Δανιὴλ προγράφει σε ὁ μέγας πάναγνε, ἐκ σοῦ γὰρ ἐτμήθη, λίθος ἄνευ χειρῶν ὁ ἀκρόγονος, ὁ συντρίψας πλάνης, κράτος συνδήσας τούτου πόῤῥω, καὶ δοξάσας τὸν μέγαν Λεόντιον.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Κρατὴρ ὡράθης κιρνῶν, πνευματικὴν ἀγαλλίασιν, καὶ στῦλος φωτοειδής, φωτίζων τὰ πέρατα· καὶ ὅρμος Σωτήριος, Λεόντιε πάντας, συντηρῶν τοὺς σοὶ προστρέχοντας.

Λαμπρότητα τοῦ Θεοῦ, ἰδεῖν καὶ παθεῖν ἠξίωσαι, Λεόντιε μοναστῶν, τὸ κλέος καὶ ἔκτισμα, τῆς θείας ἐλλάμψεως κοινωνοὺς γενέσθαι, καὶ ἡμᾶς νῦν καταξίωσον.

Ἐν οὐρανοῖς συνοικῶν, τοῖς πρωτοτόκοις Λεόντιε, προσχὼν ἡμῶν ταῖς λιταῖς· ἡμῶν μεσιτεύων πάρεσο· ὀρέγων τὰ πρόσφορα αἰτήματα πᾶσι, καὶ δεινῶν πάντας λυτρούμενος.

Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς τῶν παθῶν καὶ τῶν βελῶν, τοῦ ἀλάστορος· καὶ τύχοιμεν δωρεῶν, τῶν θείων μητρόθεε, αἰσίαις ἐντεύξεσι, τοῦ σου Λεοντίου, καὶ συμπάντων τῶν ἁγίων σου.

Κοντάκιον ἦχος πλάγ. δ΄. Τῇ ὑπερμάχῳ

Τῷ τῆς σοφίας προσελθὼν κρατῆρι πάνσο-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

φε. καὶ ἀπολαύσας μυστικῶς τοῦ θείου νέκταρος ἀνεξάντλητον γεγένησαι θεῖον ῥεῖθρον· πελαγίζον Αμβροσίας νᾶμα ἥδιστον, τοῖς ἐν πίστει ἐκτελοῦσί σου ἐκ πόθου τὰ μνημόσυνα, καὶ βοῶσί σοι, χαίροις πάτερ Λεόντιε.

**Ὁ οἶκος**

Ἄϋλον πολιτείαν ἐν σαρκὶ διανύσας, συνήφθης ἀσωμάτων τοῖς δήμοις, σὺν αὐτοῖς εὐκλεῶς ἐντρυφῶν, καὶ ἀπολαύων τῆς τρυφῆς μέγιστε τῆς κρείττονος, ἧς τύχοιμεν, ἐν πίστει σοὶ βοῶντες οὕτω· Χαῖρε τερπνὸν Δωριέων θρέμμα. Χαῖρε λαμπρὸν Ἀχαΐας κλέος. Χαῖρε μονοτρόπων κανὼν ὁ εὐθύτατος· Χαῖρε Ἀσωμάτων νόων ὁ ἐφάμιλλος· Χαῖρε ἄνθος ὡραιότατον ἐκ λειμώνων τῆς Ἐδέμ· Χαῖρε ῥόδον εὐωδέστατον κατευφραῖνον τοὺς πιστούς· Χαῖρε ὅτι τοῦ κλήρου ἠξιώθης τοῦ θείου. Χαῖρε ὅτι τῆς δόξης ἀπολαύεις τῆς ἄνω. Χαῖρε πηγὴ χαρίτων ἀέναος. Χαῖρε δι' οὗ πᾶσα νόσος ὠθεῖται. Χαῖρε δι' οὗ πᾶσα ῥῶσις προχεῖται. Χαῖροι Πάτερ Λεόντιε.

Τῷ αὐτῷ μηνὶ ιά· μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Λεοντίου τοῦ ἐν Ἀχαΐᾳ.

**Λεοντίου τίς τὸν βίον μὴ θαυμάσῃ;**
**Ἐν σαρκὶ γὰρ μετῆλθεν ἀγγέλλων βίον.**
**Ητῇ ἑνδεκάτῃ πόλῳ ἦτορ ἐν εἰρήνῃ Λεοντίου.**

Οὗτος ὁ νεοθαλὴς τῆς ἀμπέλου τοῦ Κυρίου βλαστός, πατρίδα μὲν ἔσχε πόλιν τινὰ τῶν κατὰ τὴν Πελοπόννησον, κα-



λουμένην Μονεμβασίαν γεννήτορας δέ, τῶν ἐπιφανῶν καὶ θεοφιλῶν. Ὁ δὲ τούτου πατὴρ Ἀνδρέας τοὔνομα, καὶ πάσης τῆς Πελοποννήσου τὴν ἀρχὴν ἐμπιστεύεται παρὰ τοῦ εὐσεβοῦς Ἀνδρονίκου, τῆς Βασιλείας Ρωμαίων τὰ σκῆπτρα ἰθύνοντος· τοιᾶς δε τοίνυν ῥιζουχίας ἐκβλαστήσας, καὶ τοιαύτας παῖς ὢν τὰς ἀρχὰς ἔχων, προσφυᾶ καρποῦται καὶ τὴν ἀναγωγήν, καὶ γραμμάτων εὐθὺς ἱερῶν εἰς μαθητείαν ἐκδίδοται· ὧν τὴν γλυκύτητα αἰσθανόμενος, ἐν ἐπιθυμίᾳ γίνεται, ἐπιστημῶν ἅψασθαι καὶ εἰς ἀκρότητα φθάσαι τούτων· ἔνθεντοι, νοὸς ὀξύτητι, καὶ βίου καθαρότητι, χρόνος οὐ μεταξὺ πολύς, καὶ τῶν μαθημάτων γίνεται ἐγκρατής, καὶ ἐκ τῶν διαλέκτων πολλῶν· εἶτα πέμπεται εἰς τὴν βασιλίδα τῶν πόλεων· τοῦτο μέν, ἵν' ὅπως καὶ τοῖς ἐκεῖ συμφιλοσοφήσων φιλοσοφοῦσιν, ἐξασκηθῇ περιπλέον, τοῦτο δέ, ἵν' ἐνδιατρίβων τοῖς οἴκοις τῶν Βασιλέων, ἐθὰς πάντων τῶν περὶ αὐτοὺς χρηματίσῃ. Ἀλλ' οὖν γε μέγας ἔντε φιλοσοφίᾳ, φρονήσει, καὶ ἀρετῇ ὀφθείς, τοῖς πᾶσι θαυμάζεται, καὶ παρὰ τοῦ Βασιλέως ἀσπάζεται ὅτι μάλιστα, καὶ τιμᾶται· τοῦ δὲ πατρός, τὴν πρὸς θάνατον νοσήσαντος, καὶ Χριστῷ τελευτήσαντος, ἐπὶ τὴν ἐνεγκαμένην ἐπαναλύει, πανθ' ὑπείκων τῇ μητρί, ἧς τῇ ἐπιταγῇ, γυναικὶ καὶ προσομιλεῖ· ἡ δὲ Θεοδώρα ( οὕτω γὰρ ἐκαλεῖτο ) τῶν μεριμνῶν ἀποσπασθεῖσα, εἰς σεμνὸν ἀπέρχεται βίον, ἔνθα τὸ λειπόμενον τῆς ζωῆς, διανύσασα θεαρέστως, καὶ τὴν ἑαυτῆς τελευτὴν προγνοῦσα, πρὸς Κύριον ἐξεδήμησε· διὰ ταῦτα, οὐ ἐπόθη, καὶ οὗτος, ἐξ αὐτῶν σπαργάνων, ἐφάπτεται, εὐαγγελικῶς ἐγκαταλιπὼν γυναῖκα, καὶ τέκνα ( ἦν γὰρ παίδων τριῶν πατὴρ ) καὶ εὑρὼν ἱερὸν ἄνδρα, τοῦ μοναδικοῦ πολιτεύματος γυμναστὴν ἀκριβέστατον, Μεννίδην ἐπικαλούμενον, καὶ τοὺς ὑφ' ἑαυτὸν πρὸς οὐράνιον πολιτείαν ἰθύνοντα· τούτοις συγκαταλεγεὶς ὁ μακάριος, καὶ τὴν Λεοντίου κλῆσιν ἀναλαβὼν ( Λέων γὰρ ἐλέγετο πρότερον ) πάντας ὡς ἐν ὀλίγῳ τοὺς συναγωνιστάς, τοῖς πόνοις ὑπερεβάλετο, δουλαγωγῶν τὴν

σάρκα, καὶ καταστρύχων, καὶ πρὸς μόνην τὴν τῆς ἐν [illegible] πολιτείας ἀποβλέπων ἀκολουθίαν, ἐντεῦθεν μεταχωρεῖ ἐπὶ τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθω, καὶ τὴν τῶν ἐκεῖ μονοτρόπων ζηλωσάμενος πολιτείαν, ἔνθα καὶ πολλοὺς παρ᾽ αὐτοῖς τοὺς πνευματικοὺς ἱδρῶτας ὑπερεκχέει, ὑποταγὴν πᾶσι, καὶ ταπείνωσιν δεικνύων ἄκραν· διὰ δὲ τὴν ἐκ τῆς ἀρετῆς ὑπὸ πάντων αὐτῷ προσαγαγομένην τιμήν, ἐκεῖθεν ἀπαίρει πάλιν, καὶ τοῖς ἀβάτοις ἐπὶ πολύ, τῆς Πελοποννήσου ἐρήμοις ἐμφιλοχωρεῖ καταμόνας, ἐς ἀεὶ τοῦ Θεοῦ δεόμενος ὑποδεῖξαι αὐτῷ τόπον, ἐν ᾧ γενόμενος, δουλεύσει, καὶ εὐαρεστήσει αὐτῷ· ἀπεκαλύφθη δ᾽ αὐτῷ, ἀφικέσθαι ἐπὶ τὰ Βάρεια, εἰς τὸ ὄρος τὸ λεγόμενον Κλωκὸν τοῦ Γέροντος, ἄνωθεν Αἰγίου, τῆς κοινολεκτου Βοστίτσας· ἔνθα ἐπὶ πλεῖστον διαγωγῶν, κρύει πηγνύμενος, καὶ θέρει καυσούμενος, ἁπάσας τὰς ζοφοειδεῖς τῶν δαιμόνων κατεπάτησε φάλαγγας, κραταιὰν ἰσχὺν ἔχων τὸν Χριστόν· ὅθεν καὶ πρὸς ἀπάθειαν ἤλασε, καὶ τὸν νοῦν αὐτοῦ εἰς ὕψος ἔνθεον ἀνεπτέρωσε, καὶ θαυμάτων ἐπλούτησε τὴν ἐνέργειαν, χωλοὺς καὶ κυλλοὺς ἰώμενος· ἐξ ὧν βασιλεῖς οἱ αὐτάδελφοι ὅ, τε Θωμᾶς καὶ Δημήτριος τὴν ἀρετὴν τοῦ ἀνδρὸς ὑπεραγασθέντες, καὶ σέβας αὐτῷ ἀπονέμοντες, ἱερὸν σηκόν, ἐν ᾧ ἡ τῷ Ἀρχιστρατήγῳ Μιχαήλ, ἐξ αὐτοῦ, ἀνεδείμαντο, καὶ ἄλλα πλεῖστα, μέγιστα καταγώγια, ἐξ αὐτῶν κρηπίδων περιπυργώσαντες, οὐ πρὸς ἁγιασμόν, καὶ μέρη τῶν ἁγίων παθῶν τοῦ Σωτῆρος, τοῦ τε ἀκανθίνου Στεφάνου, τιμίου ξύλου, καὶ σπόγγου, εἴτε χλαμύδος, ἃ ἔφερον, τῇ ἱερᾷ Τραπέζῃ ἐπιτίθενται, καὶ πλόκον ἔτι, ἐκ τῶν τριχῶν τοῦ Προδρόμου, Ἀρέθα τε χεῖρα, καὶ Στεφάνου τοῦ νέου κάραν· ὁ δὲ ὅσιος πολλοῖς πρόξενος Σωτηρίας γενόμενος, καὶ πολλοὺς πρὸς ζῆλον, καὶ μίμησιν, τοῦ αὐτοῦ ἀκραιφνοῦς βίου διαναστήσας, σοφίᾳ λόγων, καὶ θείᾳ χάριτι, τὸν ἑβδομηκοντα πέμπτον χρόνον τῆς ἑαυτοῦ ἡλικίας φθάσας, καὶ φωτοειδεῖς προεωρακὼς ἀγγέλους, τὸ πνεῦμα αὐτοῦ ἐν εἰρήνῃ, τῇ χειρὶ τοῦ Θεοῦ παρέθετο· τὸ δὲ



τίμιον αὐτοῦ λείψανον, ἐν ᾧ καὶ ζῶν ἠγωνίζετο, κατετέθη σπηλαίῳ, ἀεὶ βρύον ἰάματα, τοῖς μετὰ πίστει αὐτῷ προστρέχουσιν· οὗ εἰς ἀνακομιδήν ποτε, ὁ μαθητὴς αὐτοῦ, καὶ μιμητὴς κατὰ πάντα πρόεδρος Παλαιῶν Πατρῶν Ἰωακείμ, καὶ πᾶν τὸ σύστημα τῶν ἀδελφῶν συνελθόντες, σεισμοῦ γενομένου, καὶ τοῦ ἄντρου διασχισθέντος μηδαμῶς προσεγγίσαι τῇ σορῷ ἴσχυσαν, ἐπὶ τῷ παραδόξῳ ἐκπλαγέντες, οὗ ταῖς πανευπροσδέκτοις δεήσεσι, ῥυσθείημεν τῆς ἐπιβουλῆς, καὶ κακώσεως τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, Κύριε.

**Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.**

Ὁ μέγας Λεόντιος, πρὸς εὐωχίαν πνευματικὴν συγκαλεῖ, τοὺς ἐγγὺς καὶ τοὺς πόρρω· διὸ προθύμως ἀγαλλομένῃ ψυχῇ, ὡς πρὸς λειμῶνα προσδράμωμεν πάγκαρπον, τρυγῶντες καρποὺς ζωηροὺς ἐκ τῆς σωροῦ αὐτοῦ.

Σοφίᾳ καὶ χάριτι, κεκοσμημένος Λεόντιε, τοῦ Θεοῦ ἐφελκύσω πρὸς γνῶσιν, τῆς ἀληθείας τῶν ἐναντίων πολλούς, καὶ τούτους θῦμα Κυρίῳ προσήγαγες, καὶ σῳζομένους Θεῷ σὺν σοὶ παρέστησας.

Δοξάσας τοῖς πόνοις σου, Θεὸν Λεόντιε πάτερ ὅσιε, πολλαπλῶς ὑπ᾽ αὐτοῦ νῦν δοξάζῃ· ἡ γὰρ σωρός σου πηγὴ θαυμάτων πέλει ἀέναος, σμήχουσα ἐκτρώματα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

**Θεοτοκίον.**

Ἰλύος με κάθαρον, τῆς τῶν παθῶν μου Θεο-

γεννῆτορ λιταῖς, τοῦ κλεινοῦ Λεοντίου, καὶ εὐσχημόνως εἰς τὸ ἑξῆς με βιοῦν δίδου μοι χεῖρα, καὶ γὰρ πάντα δύνασαι, ὅσα καὶ βούλει, διὸ κἀγὼ προσφεύγω σοι.

**Ὠδὴ η΄. Ἑπταπλασίως κάμινος**

Ὥσπερ μαγνίτης εἵλκυσας πρὸς αὐτὸν τοὺς ἀκούοντας τῶν μελισταγῶν σου διδαχῶν Λεόντιε, καὶ τούτους προσήγαγες Θεῷ τερπνήν, οἷα περ ὀδμήν, τῷ δημιουργῷ, καὶ λυτρωτῇ ἐκβοῶντας· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε.

Ῥάβδῳ εὐχῆς Λεόντιε, τῶν παθῶν ῥήξας θάλασσαν, καίγε πρὸς τὴν γῆν ἐπαγγελίας ἔφθασας, Θεῷ τρανῶς ὁμιλῶν, οὐκ ἐν ἐσόπτρῳ δὲ καὶ σκιαῖς, ἀλλ᾽ εἰλικρινῶς καὶ θεουργούμενος κράζεις· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε.

Ἰχνηλατήσας κάλλιστα τῶν Πατέρων Λεόντιε, βίους καὶ τὰς πράξεις, κατ᾽ οὐδὲν τὸ δεύτερον, τῆς τούτων ἀσκήσεως ἔσχες, μᾶλλον δὲ, καὶ τοὺς πολλοὺς ὑπερέβης, ζῶν ἀγγελικῶς καὶ εὐχαρίστως κραυγάζων· οἱ παῖδες ἀνυμν.

Ὁ τῷ πατρὶ συνάναρχος, καὶ τῷ Πνεύματι σύνθρονος, ἐξ οὗ Θεομῆτορ, ὑπὲρ νοῦν σεσάρκωται, Θεὸς ὁ πρὶν ἄσαρκος, ὁ Λεοντίου ταῖς προσευχαῖς σώζων τοὺς αὐτῷ ἐκ τῶν βαθέων βοῶντας· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε.



**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.**

Ἐφέσεώς σου στάς, καὶ τῶν ὀρεκτῶν τὸ ἀκρότατον φθάσας, Λεόντιε, καὶ τοῦ Θεοῦ κληρονόμος μέν, νῦν τοῦ δὲ Χριστοῦ, συγκληρονόμος γέγονας· ὅθεν σοῦ δεόμεθα ἐκτενῶς, ὡς ἔχων παρρησίαν, μὴ παύσῃ ἱκετεύων, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

Ὡς ἄγγελος βιώσας ἐπὶ τῆς γῆς, καὶ ἀξίας τετύχηκας χάριτος, ἐν οὐρανοῖς, ἔνδοξε Λεόντιε σὺν χοροῖς ἀγγέλων ἀγαλλόμενος, καὶ τῆς θεοπτίας κατατρυφῶν, κλέος τῶν Δωριέων. Καὶ πάσης οἰκουμένης τὸ σεμνολόγημα, καὶ καύχημα.

Νυττόμενος Λεόντιε πόθῳ σῷ, ὁ κλεινὸς μαθητής σου, καὶ πρόεδρος, Ἰωακείμ, μονῶν εὐαγῶν τὸν σὸν νῦν ἡμᾶς ὑμνῆσαι βίον ἔπεισε, σὺ δ᾽ αὐτοῦ λιταῖς, καὶ τῶν μετ᾽ αὐτοῦ, τὸ θεῖον ἵλεω μοι καὶ δὸς πταισμάτων λύτρα, κἀμοὶ καὶ πᾶσι τοῖς ὑμνοῦσί σε.

Ὑπέρκειται ἀγγέλων νοῦν καὶ βροτῶν, τὸ τοῦ τόκου σου θαῦμα Θεόνυμφε· ὀνφρίττει γάρ, οὐρανῶν τὰ τάγματα, καὶ ἡ γῆ, τοῦτον σαρκὶ ἐκύησας, μίξασα τὸ γένος ἡμῶν Θεῷ· αὐτὸν σὺν Λεοντίῳ, καὶ πᾶσι τοῖς ἁγίοις, δυσώπει σῶσαι τοὺς ὑμνοῦντάς σε.

**Ἐξαποστειλάριον. Φῶς ἀναλλοίωτον**

Φῶς σου ταῖς τρίβοις ὁ νόμος Θεοῦ, καὶ λύχνος ποσί σου· διὸ καὶ φῶς φαίνων ὤφθης, Λε-

έντιε, τὴν γῆν πᾶσαν, ζόφον παθῶν διαλύων, καὶ πρὸς τὰ κρείττω, καθοδηγῶν τὰς σὰς μάνδρας.

Φαεινοτάταις λιταῖς σου, τὰ σκοτεινόμορφα νέφη τῆς διανοίας μου κόρε, φώτισον δέομαί σου, καὶ δεῖξόν με κληρονόμον, τῆς βασιλείας, τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ μου.

**Εἰς τοὺς αἴνους, πᾶσα πνοή. ἱστῶμεν στίχ. δ΄. στιχηρὸν προσόμοιον. ἦχος πλάγιος δ΄.**

**Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος, κόσμου ἐκστὰς καὶ σαρκός, καὶ Θεῷ συγγινόμενος, στύλος ὤφθης πύρινος, καὶ νεφέλη σκιάζουσα, ὅρος καὶ στάθμη, κανὼν καὶ ἔρεισμα τῶν μοναζόντων, καὶ στήλη ἔμψυχος, πάντας πρὸς ἄκλιστον, ὅρμον καὶ ἀκύμαντον καθοδηγῶν, τοῦ Θεοῦ Λεόντιος, ὁ μεγαλώνυμος.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ ἐξ ὀσφύος θνητῆς, τὸν ἀθάνατον ἤμβλυνε, καὶ ὁ ἀπὸ σώματος, τὸν ἀσώματον ᾔσχυνε· ὁ γυγενής τε, τὸν γῆν καὶ θάλασσαν, ἐξαφανίζειν ἐκφριαττόμενον, εἶχ οἰκτρότατον, στρουθίον ἀπέδειξε, καὶ τοῖς ποσί, τούτου τὸ ἀγέροχον, πατεῖν ἠξίωται.

Ὢ τῶν ὑπὲρ νοῦν χαρίτων σου· νέκν στοὰν γὰρ τὴν σήν, ἀκεσώδυνον λάρνακα, ἐκτελεῖς ῥωννύουσαν, νωχελεῖς καὶ καθαίρουσαν, ἕλκη παντοῖα καὶ πολυχρόνια· ἣν καὶ κυκλοῦντες, πίστει βοῶμέν σοι· ὦ πάτερ πρόφθασον, καὶ ῥῦσαι Λεόντιε, πάσης ἡμᾶς βλάβης, καὶ ἀξίωσον τρυφῆς



τῆς κρείττονος.

**Δευτεροῦμεν τὸ α΄. δόξα ἦχος πλάγ. δ΄.**

**Τῶν τοῦ Θεοῦ δωρεῶν.**

Τὸν εὐκλεῆ μυστηπόλον τοῦ Πνεύματος, καὶ ἀκραιφνῆ θεηγόρον τῆς θείας χάριτος, πόθῳ ἀνυμνήσωμεν ᾠδαῖς, καὶ καταστέψωμεν ἐγκωμίοις, Λεόντιον μονοτρόπων τὸ ἐγκαλλώπισμα· πρεσβεύει γάρ, Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ὑμῶν.

**Καὶ νῦν Θεοτοκίον. Δέσποινα πρόσδεξαι.**

Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον ἐκ τῆς κανδήλας τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἡ τριθέκτη ἐκ τοῦ κανόνος τοῦ ἁγίου. Ἀπόστολος καὶ Εὐαγγέλειον ὅσικά.

Ζήτει ταῦτα, Δεκεμβρίου ε΄. κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον τοῦ ἁγίου**

Τὸν τῶν Δωριέων κλεινὸν βλαστόν, καὶ τῆς Ἀχαΐας πάσης στύλον τὸν φωταυγῆ, τὸν τῶν οὐρανίων νοῶν συνθιασώτην, Λεόντιον ἐν ὕμνοις πιστοὶ ὑμνήσωμεν.

## ΤΕΛΟΣ

ΨΗΦΙΑΚΗ ΣΥΛΛΟΓΗ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΙΔΡΥΜΑ ΠΑΠΑΣΤΡΑΤΟΥ

## Οἶκοι εἰς τὸν Ταξιάρχην τῶν ἄνω δυνάμεων Μιχαὴλ τὸν Ἀρχιστράτηγον, καὶ λειτουργὸν τρισυποστάτου Θεότητος.

Τὸ κοντάκιον, ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,

Τῷ πρωταγγέλῳ Μιχαὴλ τὰ ὑμνητήρια, οἱ διὰ σοῦ τῶν λυπηρῶν ἀεὶ λυτρούμενοι, ἀναμέλπομεν εὐρύθμῳ μελῳδήματι. ἀρχιστράτηγε Κυρίου παντοκράτορος, ἐκ παντοίων ἡμᾶς κινδύνων ἐλευθέρωσον· ἵνα κράζωμέν σοι, χαῖρε φύλαξ παγκόσμιε.

Ἄσμασιν ἐγκωμίων, σὲ γεραίρειν τολμῶντι, Ἀγγέλων Μιχαὴλ ἀρχηγέτα, αὐτός μοι δωρηθῆναι ἰσχὺν τῷ Θεῷ τῶν ὅλων συμπαθῶς πρέσβευε, ὡς τέρατα καὶ θαύματα κηρύττειν σου τοῖς πᾶσιν οὕτω.

Χαῖρε φωστὴρ ἀηφανὴς τοῦ κόσμου· χαῖρε πρηστὴρ φλογερὲ δαιμόνων.

Χαῖρε βασιλέων πιστῶν τὸ κραταίωμα· χαῖρε τῶν ἀπίστων ἐχθρῶν ἡ κατάπτωσις.

Χαῖρε κάλλος ὑπερθαύμαστον, θέλγον πάντων ὀφθαλμούς· χαῖρε εἶδος ὁλοπύρινον φλέγον δαίμονας πικρούς.

Χαῖρε, ὅτι φωτίζεις ὀρθοδόξων τὰ στίφη· χαῖρε, ὅτι σκοτίζεις δυσμενῶν παρατάξεις.

Χαῖρε πηγὴ θαυμάτων ἀκένωτε· χαῖρε τῆς



γῆς ἁπάσης ἐντρύφημα.

Χαῖρε, δι' οὗ ἐκτελοῦνται σημεῖα· χαῖρε δι' οὗ χορηγοῦνται δυνάμεις· χαῖρε φύλαξ παγκόσμιε.

Βλέπων σὺ παραστάτα οὐρανῶν βασιλείας, πρὸς γῆν τὸν ἑωσφόρον πεσόντα, καὶ σὺν τούτῳ πάσας, Μιχαὴλ, τὰς αὐτοῦ δυνάμεις, ταῖς λοιπαῖς ἔκραζες· αἰνέσωμεν τὸν Κύριον καὶ μέλψωμεν ἐν φόβῳ, αἶνον τὸν τρισάγιον· ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι Ἰησοῦς τοῦ Ναυῆ σὲ ἐζήτησε· καὶ μαθὼν εὐθέως ὁ πολὺς τὴν ἰσχύν, πρηνὴς ἔπεσε, σὺν τρόμῳ, καὶ οἰκτρῶς ἔλεγε· τί δὴ προστάττεις δέσποτα κράζοντί σοι;

Χαῖρε βουλῆς τοῦ ὑψίστου μύστα. χαῖρε βελῶν τοῦ ἀντικειμένου ῥύστα.

Χαῖρε ταγμάτων τῶν οὐρανίων ὄρχαμος· χαῖρε ἁπάντων τῶν ἀνθρώπων ὁ πρόμαχος.

Χαῖρε ξίφος θεοχάλκευτον, δι' οὗ ἐτρώθη Σατανᾶς· χαῖρε μάχαιρα ἐκτέμνουσα παρανόμων κεφαλάς.

Χαῖρε ὁ τῶν ἀγγέλων Μιχαὴλ προεξάρχων· χαῖρε ὁ τῆς ἀνθρώπων σωτηρίας μεσίτης.

Χαῖρε νικῶν ἡλίου λαμπρότητα· χαῖρε εἰκὼν τῆς ἄνω φαιδρότητος.

Χαῖρε σοφοὺς ἀπελέγχων ἀσόφους· χαῖρε πιστῶν κατευγάζων τὰς φρένας· χαῖρε φύλαξ παγκόσμιε.

Δύναμις ἀνθρωπίνη, ἀτονεῖ πρὸς τὸ ὕψος, ἐκ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τείνεσθαι μεγαλουργημάτων ὦ πρωτάγγελε θεῖε, τῶν σῶν, καὶ λοιπὸν αἰτοῦμεν συμπαθέστατε χορήγησον ἐξ ὕψους συμμαχίαν, τοῦ κραυγάζειν αἶνον τὸν τρισάγιον· ἀλληλούϊα.

Ἔχων σε πρωτοστάτα τῶν ἀΰλων ταγμάτων, πρὸς Κύριον τὸν πάντων δεσπότην, ὡς καὶ πάντες οἱ πόθῳ τὴν σὴν ἐκτελοῦντες μνήμην, πρεσβευτὴν ἔνδοξε, ἐκ θλίψεων κουφίζομαι παντοίων, προσφωνῶν σοι ταῦτα.

Χαῖρε στρατοῦ οὐρανίου δόξα· χαῖρε λαοῦ ὀρθοδόξου σκέπη.

Χαῖρε Ἰατρὲ τῶν νοσούντων πανάριστε· χαῖρε διαπρέπων τοὺς πάντας ἑκάστοτε.

Χαῖρε ξύλον θησαύρισμα δωρημάτων θεϊκῶν, χαῖρε χάρισμα παγκόσμιον σωτηρίας χωρηγοῦν.

Χαῖρε ὅτι πηγάζεις ποταμοὺς ἰαμάτων· χαῖρε ὅτι ὑπάρχεις ὁδηγὸς πλανωμένων.

Χαῖρε φρικτὸν ἀνθρώποις θεώρημα· χαῖρε παντὸς τοῦ κόσμου τὸ καύχημα.

Χαῖρε βροτῶν πρὸς Θεὸν ἐντυχία· χαῖρε πιστῶν πρὸς αὐτὸν παῤῥησία· χαῖρε φύλαξ παγκόσμιε.

Ζάλης θέλων ῥυσθῆναι συμφορῶν τῶν τοῦ βίου, καὶ πάντων δυσχερῶν Ταξιάρχα, τὴν ἐλπίδα, πᾶσαν νῦν εἰς σὲ καὶ φροντίδα τῆς ἐμῆς ψυχῆς τίθημι' λοιπὸν αὐτός μοι πρόστηθι, κραυ-



γάζοντι σὺν σοὶ τὸν αἶνον τὸν τρισάγιον· ἀλληλούϊα.

Ἤπλωσεν ὁ Βελίαρ κατ' ἐμοῦ τοῦ σοῦ δούλου, τὰ θήρατρα αὐτοῦ τῆς κακίας, καὶ θηρεῦσαι, καὶ θανατῶσαι καθ' ἑκάστην σπεύδει, ὡς ἐχθρὸς ἄσπονδος· ἀλλ' ἐξ αὐτοῦ με ῥῦσαι πρωτοστάτα, ἵνα ὑμνῶ σε λέγων.

Χαῖρε χοροῦ τῶν ἀγγέλων πρῶτε· χαῖρε λαοῦ τοῦ πιστοῦ προάγων.

Χαῖρε ἀοράτων ἐχθρῶν ἐλατήριον· χαῖρε ὀρθοδόξων στρατοῦ φυλακτήριον.

Χαῖρε ὅτι τὰ οὐράνια διὰ σὲ γέμει χαρᾶς· χαῖρε ὅτι τὰ ἐπίγεια καταυγάζεις νοητῶς.

Χαῖρε δι' οὗ κρατεῖται τὸ τρισάγιον ᾆσμα· χαῖρε τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα.

Χαῖρε στεῤῥὲ τῆς πίστεως πρόμαχε· χαῖρε παντὸς ἀνθρώπου διάσωσμα.

Χαῖρε δι' οὗ καταπέμπονται νίκαι· χαῖρε δι' οὗ καταισχύνονται θράση· χαῖρε φύλαξ παγκόσμιε.

Θεωρίας σῆς αἴγλης θεωροῦσα ἡ ὄνος ποτὲ τοῦ Βαλαὰμ ἐταράχθη καὶ τῷ τοίχῳ, ὡς εἶχεν εὐθύς, τὸν ἐκείνου πόδα κραταιῶς ἔπληξε, καὶ ἤλεγξε τὸν ἄθλιον πρωτάγε, ἀσύνετον βουλὴν πληροῦντα, μὴ βοῶντα ὕμνον τὸν τρισάγιον· ἀλληλούϊα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἶδον παῖδες Ἑβραίων τὸ ἐξαίσιον ἔργον, τὸ τελεσθὲν πρωτοστάτα, πῶς ὀφθέντος σου ἀνδρὶ Γεδεών, βαρεῖαν Μαδιὰμ πληγὴν ἔφυγον, ῥυσθέντες παρ' ἐλπίδα, καὶ ἐβόων οἱ ἀπεγνωσμένοι·

Χαῖρε κινδύνων μεγάλων ῥύστα· χαῖρε ἀνδρῶν δυνατῶν διῶκτα.

Χαῖρε γῆς ἁπάσης ἐξάκουστον λάλημα· χαῖρε τῶν περάτων περίδοξον ἄκουσμα.

Χαῖρε βάρβαρον μεγάλαυχον κατασφάξας Ἀμαλήκ. χαῖρε στράτευμα παράνομον ἀφανίσας Μαδιάμ.

Χαῖρε ὁ τὴν βαρβάρου θριαμβεύσας θρησκείαν. χαῖρε ὁ τὴν τυράννου καταλύσας φατρίαν.

Χαῖρε πυρὸς θεότητος ἔξαλμα· χαῖρε φλογμοῦ παθῶν ἡ κατάπτωσις.

Χαῖρε λαοῦ ὁδηγὲ πλανωμένου· χαῖρε Θεοῦ δεξιὲ παραστάτα· χαῖρε φύλαξ παγκόσμιε.

Κήρυκες τῶν θαυμάτων βουληθέντες γενέσθαι, πρωτάγγελε νῦν ἀδυνατοῦμεν· ἀπορίᾳ γὰρ τὸν λογισμόν, καὶ τὸν νοῦν δειλίᾳ παντελῶς ἐκάμψαμεν· ἀλλ' ὅμως τολμηρῶ σοι τὸ φρικῶδες συγκροτοῦμεν ᾆσμα τὸ τρισάγιον· ἀλληλούϊα.

Λάμψαι θέλων τῷ κόσμῳ φωτισμῷ ἀληθείας, καὶ βάπτισμα τὸ θεῖον τυπῶσαι, τῶν ἀγγέλων τὸν πρῶτον σωτήρ, τῇ τῆς κολυμβήθρας ταραχῇ ἔπεμπες· οἱ τούτου δὲ τυχόντες, ἀναμέλπωμεν τῷ λειτουργῷ σοι,



Χαῖρε τὸ φώτισμα τῶν ἀνθρώπων· χαῖρε ἀφάνισμα τῶν δαιμόνων.

Χαῖρε τῆς ἀπάτης τοῦ πλάνου ἀναίρεσις· χαῖρε τῶν παγίδων αὐτοῦ ἡ κατάλυσις.

Χαῖρε αὔγασμα πολύφωτον οὐρανίων λειτουργῶν· χαῖρε σύντριμμα πολύπονον τῶν τοῦ σκότους ὑπουργῶν.

Χαῖρε ἄσειστε στύλε οὐρανίου καθέδρας· χαῖρε μόνε τοῦ κόσμου διαυγέστατε λύχνε.

Χαῖρε τροφεῦ πεινόντων πολύολβε· χαῖρε Θεοῦ ὑψίστου διάκονε.

Χαῖρε πηγὴ ἡ τῆς φιλανθρωπίας· χαῖρε τραῦμα τῶν κακίστων δαιμόνων· χαῖρε φύλαξ παγκόσμιε.

Μέλλοντος εἰς αἰῶνας, τοῦ δυνοῦ λυμεῶνος, κολάζεσθαι τοῦ ἀπατεῶνος, ἐσοφίσθη δι' ἔχθρας αὐτῷ, καὶ ἡμᾶς σὺν τούτῳ στρατηγέτα τήκεσθαι· ἀλλ' ἔχοντες τὴν σκέπην σου, ῥυσθείημεν σὺν σοὶ βοῶντες ὕμνον τὸν τρισάγιον· ἀλληλούϊα.

**Τὸ κοντάκιον,**

Νόων ἔδειξε πρῶτον, ὁ τοῦ κόσμου σὲ κτίστης ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις· ἐξ ἁπάντων αὐτός σε, καὶ γὰρ θαυμαστώσας, μόνον τοῖς πιστοῖς δέδωκεν· ἵνα τὴν χάριν βλέποντες, ὑμνῶσί σε βοῶντες οὕτω.

Χαῖρε τὸ φθέγμα τῆς ὑμνῳδίας· χαῖρε τὸ στόμα τῆς μελῳδίας.

ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

Χαῖρε ἀναστάσεως θείας πρωτάγγελε· χαῖρε μυροφόρων τοῦ θρήνου κατάπαυσις.

Χαῖρε ὄψις ἀγλαόφωτε, ὑφ' ἧς λάμπονται πιστοί· χαῖρε εἶδος ἀστραπόμορφον, δι' οὗ καίονται ἐχθροί.

Χαῖρε τῶν αἰχμαλώτων λυτρωτὴς χρηματίζων· χαῖρε τῶν λυπουμένων παρηγόρημα ξένον.

Χαῖρε κριτοῦ μεγάλου διάκονος· χαῖρε ἡμῶν προστάτης θερμότατος.

Χαῖρε πολλῶν πρὸς Θεὸν παῤῥησία· χαῖρε λαῶν εὐσεβῶν ὁδηγία· χαῖρε φύλαξ παγκόσμιε.

Ξένος πάσης ὑπάρχων ἀγαθῆς ἐργασίας, οὐκ ἔχω σωτηρίας ἐλπίδα· διὰ τοῦτο γοῦν ἐλεεινῶς προσπεσών σοι κράζω Μιχαήλ, σῶσόν με πρωτάγγελε Κυρίου, τοῦ σὺν σοὶ μέλπειν τὸν ὕμνον τὸν τρισάγιον ἀλληλούϊα.

Ὅλον σύ με φορέσας, ὁ τῶν ὅλων ὡς κτίστης κρατῶν, ὁ συμπαθέστατος φύσει, συνθέωσας, καὶ τέθεικας φύλακα φυλάσσειν πάντας βροτῶν ἐς ἀεί, ὃς ἀκούει ταῦτα.

Χαῖρε ναοῦ οὐρανίου τέρψις· χαῖρε λαοῦ χριστωνύμου φύλαξ.

Χαῖρε τῶν ἀπίστων ἀπότομον ὅραμα· χαῖρε τῶν πιστῶν παντεκλάλητον κήρυγμα.

Χαῖρε στήριγμα τῆς πίστεως καὶ καλλώπισμα ναῶν· χαῖρε πάγκαλον ὡραΐσμα οὐρανίων στρατιῶν.



Χαῖρε ὁ τῶν παντοίων ἀγαθῶν χορηγέτης· χαῖρε ὁ τῆς κακίας τοῦ πανώλου διώκτης.

Χαῖρε δι' οὗ νεκροῦνται πολέμιοι· χαῖρε δι' οὗ λυτροῦνται ἀνεύθυνοι.

Χαῖρε λαμπτὴρ ὑπαρχόντων ἐν σκότει· χαῖρε ἐλπὶς θεϊκῆς συμπαθείας· χαῖρε φύλαξ παγκόσμιε.

Πᾶσα πόλις καὶ χώρα, κατεπλάγη τὸ ξένον, τῆς σῆς πανενδοξότητος ἔργον· τὸν Ἀσύριον γὰρ τὸν πολὺν, καὶ στρατὸν τὸν τούτου, ἐν νυκτὶ ὤλεσας· διὸ καὶ μεγαλύνουσι, κραυγάζουσι δὲ τὸν ὕμνον τὸν τρισάγιον· ἀλληλούϊα.

Ῥῦσαί με ταῖς πρεσβείαις, ὦ πρωτάγγελε θεῖε, πυρὸς τοῦ αἰωνίου, καὶ πάσης τιμωρούσης ἀλήκτως δεινῆς, καὶ παντοίας ἄλλης Μιχαὴλ ἔνδοξε κολάσεως, κραυγάζοντα, καὶ λέγοντα πιστῶς σοι ταῦτα.

Χαῖρε σοφίας Θεοῦ τὸ ἔργον· χαῖρε ἰσχύος αὐτοῦ σημεῖον.

Χαῖρε σοφιστοῦ τῆς κακίας ἀντίπαλε· χαῖρε κακουμένων ἐκ τούτου ἀντίληψις.

Χαῖρε ὅτι ἐδιώχθησαν ἔθνη κάκιστα πολλά· χαῖρε ὅτι ἀπεφάνθησαν παρὰ ταῦτα δυνατοί.

Χαῖρε τῆς ξυναυλίας τῶν ἀγγέλων σκηπτοῦχε· χαῖρε τῆς οὐρανίου βασιλείας κλειδοῦχε.

Χαῖρε βυθὸν ἀγνωσίας ξηραίνων· χαῖρε πολλοὺς ἐν γνώσει στηρίζων.

Χαῖρε λιμὴν τῶν ἐν ζάλῃ τοῦ βίου· χαῖρε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δοτὴρ τοὺς αἰτοῦντας προφθάνων· χαῖρε φύλαξ παγκόσμιε.

Σῶσόν με πρωτοστάτα τῶν ἀΰλων ταγμάτων, ὡς ἔχων πρὸς Θεὸν παῤῥησίαν, ἐκ παντὸς κινδύνου καὶ σφοδρᾶς πειρασμῶν ἐφόδου, καὶ δεινῆς θλίψεως, ὃς θαῤῥῶν σοὶ προσπίπτω, καὶ κραυγάζω τὸν αἶνον τὸν τρισάγιον· ἀλληλούϊα.

**Εἶτα τὸ κοντάκιον,**

Τὶς ὡς σὺ τῶν ἁπάντων, βοηθὸς ἐν ἀνάγκαις ὁρᾶται Μιχαὴλ Ταξιάρχα; καὶ γὰρ οἱ ἐν βυθῷ δυσχερῶν προσκαλούμενοί σε, παρευθὺς ῥύστην σε πλουτοῦσιν εὐσυμπάθητε, καὶ προσφωνοῦσι ταῦτα.

Χαῖρε ὁ πύργος τῆς ὁμονοίας· χαῖρε ὁ στῦλος τῆς ἐκκλησίας.

Χαῖρε ἀρχηγὲ φλογερᾶς παρατάξεως· χαῖρε χορηγὲ θεϊκῆς ἀγαθότητος.

Χαῖρε σὺ γὰρ κατεκόσμησας τὰς οὐρανίους σκηνάς· χαῖρε σὺ γὰρ ἐστηλίτευσας τὰς τῆς ἀπάτης σκιάς.

Χαῖρε ὁ τὰς χορείας συγκροτῶν τῶν ἀγγέλων· χαῖρε ὁ σκαιωρίας καταργῶν τῶν δαιμόνων.

Χαῖρε λαμπὰς ἀπείρως φωτίζουσα· χαῖρε ἀκτὶς ἀφλέκτως ἐκλάμπουσα.

Χαῖρε αἰγληφόρε λυχνία· χαῖρε φαιδρὲ μαργαρίτα Κυρίου· χαῖρε φύλαξ παγκόσμιε.



Ὕμνον σοὶ προσκομίζειν, τὸν ἰσοστάσιον ὅλως, τῷ πλήθει τῶν πολλῶν σου θαυμάτων, οὐδ' ἑνὶ τῶν βροτῶν δυνατὸν ἀρχηγὲ ἀγγέλων Μιχαὴλ πάντιμε, ἀλλ' οὖν θαυμάζειν ἄξιον πρὸς ἅπαντα, καὶ μέλπειν αἶνον τὸν τρισάγιον. ἀλληλούϊα.

Φώτισόν μου τὰς φρένας, τράνωσόν μου τὴν γλῶσσαν, μορφῆς τῆς πυριμόρφου δοχεῖον· καὶ γὰρ ἄϋλον λάμπον σὺ φῶς, ὁδηγεῖς πρὸς γνῶσιν ὑμνῳδῶν ἅπαντας, κροτεῖν τὰ σὰ θαυμάσια, κραυγῇ τῇ γλυκοφράστῳ ταύτῃ.

Χαῖρε ἀσπὶς κραταιὰ ἀνάκτων· χαῖρε ἐλπὶς σωτηρίας κόσμου.

Χαῖρε δωρεῶν θεϊκῶν καταγώγιον· χαῖρε τὸ στεῤῥὸν τῶν πιστῶν καταφύγιον.

Χαῖρε ὅτι τὸν ἀείφωτον ἠξιώθης καθορᾶν· χαῖρε ὅτι τὸν κακότροπον καταφλέγεις σατανᾶν.

Χαῖρε τῆς βασιλείας ἀγλαΐζων τὴν δόξαν· χαῖρε τῶν ἀντιπάλων καταθραύων τὰ τόξα.

Χαῖρε λιμὴν πλεόντων ἀχείμαστε· χαῖρε ἡμῖν ὁ διδοὺς ἀγαλλίασιν.

Χαῖρε λειμὼν εὐωδίαν ἐκπέμπων· χαῖρε λοιμῶν καθαιρῶν τὰς καθέδρας· χαῖρε φύλαξ παγκόσμιε.

Χαίρει πᾶσα καρδία παραστάτα Κυρίου, ἡνίκα ἑορτή σου τελῆται, καὶ συνάγουσα δι' αὐτὴν, τὰς δοξολογίας τῷ Θεῷ δίδωσι, τιμῶσά σε

πρωτάγγελε, καὶ κράζουσα μετὰ φόβου αἶνον τὸν τρισάγιον· ἀλληλούϊα.

Ψάλλοντές σου τὸν ὕμνον, εὐφημοῦμέν σε πόθῳ τὸν ἔνδοξον Θεοῦ ταγματάρχην, ἐν τῇ σῇ γὰρ ἀμέμπτῳ τῷ Θεῷ λειτουργίᾳ φωτίζεις πάντας, ὥστε ταῦτα βοᾶν σοι.

Χαῖρε πυρσὲ δαδουχῶν τὴν κτίσιν· χαῖρε ἀγγέλων πάντων μείζων.

Χαῖρε πληρωτὰ προσταγμάτων θεότητος· χαῖρε θεωρὲ θεϊκῶν ἐπιλάμψεων.

Χαῖρε ἄῤῥηκτον περίζωσμα βασιλέων εὐσεβῶν· χαῖρε τέλειον πολίτευμα ἱερέων εὐλαβῶν.

Χαῖρε τῆς ἐκκλησίας ὁ ἀσίγητος ὕμνος· χαῖρε τῆς βασιλείας τὸ ἀήττητον ὅπλον.

Χαῖρε δι' οὗ βωμοὶ καταστρέφονται· χαῖρε δι' οὗ συντρίβονται εἴδωλα.

Χαῖρε παντὸς ἀσθενοῦς θεραπεία. χαῖρε ψυχῆς τῆς ἐμῆς σωτηρία· χαῖρε φύλαξ παγκόσμιε.

Ὦ πρωτάγγελε θεῖε, πρωτοστάτα πυρίνων ταγμάτων ὡραιότατε κάλλει· ἐπακούσας ᾠδῆς μου οἰκτρᾶς, ἀπὸ πάσης σύ με συμφορᾶς ἅρπασον, ἐκ τῆς μελλούσης πρέσβευε ῥυσθῆναι κολάσεως τὸν σὺν σοὶ τὸν ὕμνον βοῶντα τὸν τρισάγιον· ἀλληλούϊα.

**Καὶ πάλιν τὸ Κοντάκιον**

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

# ΤΗ Η΄. ΤΟΥ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ

Ἡ σύναξις τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριήλ, καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων.

**Ἐν τῷ μικρῷ ἑσπερινῷ.**

Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τὰ ἑξῆς τρία, δευτεροῦντες τὸ α΄.

**Ἦχος Β΄. Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν.**

Δεῦτε ἐν ᾠδαῖς πνευματικαῖς, τοὺς προαρχηγοὺς τῶν ἀγγέλων, ἀνευφημήσωμεν πάντων γὰρ ὡς πρόκριτος, τῶν ἀσωμάτων χορῶν, Στρατηγοί, καὶ Ἀρχάγγελοι, ἐκλήθησαν ἄμφω· ἄρχων γὰρ τῆς χάριτος ὁ Γαβριὴλ πεφυκώς, νόμου, καὶ τῶν πρὸ Μωϋσέως ἔξαρχος γνωρίζεται αὖθις, ὁ τῶν Ἀρχαγγέλων ἀρχηγὸς Μιχαήλ.

Εὖγε Ἀσωμάτων ὁ φωστήρ! εὖγε τῆς ἀΰλου χορείας, ὦ Ἀρχιστράτηγε, μύστα, καὶ πρωτάγγελε, τῶν ἀποῤῥήτων Θεοῦ, Μιχαὴλ παμμακάριστε, αὐτόπτα τῶν ἄνω. Λύτρωσαι δεόμεθα τοὺς σοὶ προστρέχοντας, πάντων δυσχερῶν καὶ κινδύνων· σὲ γὰρ πρὸς τὸν Κύριον πάντες, εὐμενῆ προστάτην προβαλλόμεθα.

Χαίροις τῶν Ἀγγέλων στρατηγέ, καὶ τῶν ἀποῤῥήτων ὁ μύστης, καὶ λειτουργὲ τοῦ Θεοῦ. ἄρχων καὶ ἀκρότατε, τῶν ἀσωμάτων χορῶν, Γαβριὴλ ὑπερένδοξε· φρικτῶν μυστηρίων, ὤφθης γὰρ διάκονος κρυφιομύστου βουλῆς· σὺ γὰρ τὴν

Θεοῦ πρὸς ἀνθρώπους, ἄκραν συγκατάβασιν ἦλθες, ἐπὶ σωτηρία προαγγέλων ἡμῖν

**Δόξα ἦχος πλάγιος Β'.**

Οἱ Ἄγγελοί σου Χριστέ, τῷ θρόνῳ τῆς μεγαλοσύνης, ἐν φόβῳ παρεστῶτες, καὶ τῇ σῇ φωτοχυσίᾳ ἀεὶ λαμπόμενοι, ἐν τοῖς ὑψίστοις ὑμνῳδοί σου, καὶ τῆς βουλῆς σου λειτουργοί, ὑπὸ σοῦ ἐκπεμπόμενοι, νέμουσι φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν.

**Καὶ νῦν**

**Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.**

Εἶτα τὸ Φῶς ἱλαρὸν, καὶ τὸ Προκείμενον τῆς ἡμέρας.

Μετὰ δὲ τὸ Καταξίωσον, κ. λ. π. Ψάλλομεν εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.

**Ἦχος Α', Πανεύφημοι Μάρτυρες ὑμᾶς**

Ἀσώματοι ἄγγελοι Θεοῦ, θρόνῳ παριστάμενοι, καὶ ταῖς ἐκεῖθεν ἐλλάμψεσι, καταστραπτόμενοι, καὶ φωτοχυσίαις, αἰωνίως λάμποντες, καὶ φῶτα χρηματίζοντες δεύτερα, Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

**Στίχ. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ.**

Ἀθάνατοι Ἄγγελοι ζωήν, ὄντως τὴν ἀνώλεθρον, παρὰ τῆς πρώτης δεξάμενοι, ζωῆς πανόλβιοι, ἀϊδίου δόξης, καὶ σεπτοὶ θεάμονες, σο-



φίας ἀϊδίου γεγόνατε, φωτὸς πληρούμενοι, καὶ λαμπάδες συστρεφόμεναι, ἁρμοζόντως, ἐπαναδεικνύμενοι.

**Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον**

Ἀρχάγελοι Ἄγγελοι Ἀρχαί, Θρόνοι Κυριότητες, τὰ Σεραφεὶμ Ἑξαπτέριγα, καὶ πολυόματα Χερουβὶμ τὰ θεῖα, τῆς σοφίας ὄργανα, Δυνάμεις, Ἐξουσίαι θειότατοι, Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

**Δόξα. Ἦχος Δ'.**

Τῆς ἡλιακῆς ἀκτῖνος τοῦ θείου φωτὸς, καταλαμπόμενοι Ἀρχηστράτηγοι, τὰς τῶν ἀΰλων καταυγάζετε ταξιαρχίαις· ὡς φῶς λευχειμονοῦντες ἐν ὑψίστοις τὸ πῦρ καταυγάζεται ἐν κόσμῳ τῆς ἀπροσίτου Θεότητος· ὅθεν καὶ τὸν τρισάγιον ὕμνον, ἐν φλογεροῖς τοῖς χείλεσιν ἀκαταπαύστως ἄδετε· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν δόξα σοι.

**Καὶ νῦν.**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου.

**Νῦν ἀπολύεις. Τὸ τρισάγιον**

**Ἀπολυτίκιον Ἦχος Δ'.**

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι.

**Δόξα καὶ νῦν. Θεοτοκίον. Καὶ ἀπόλυσις**

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ